σὺ δ᾽ οὐκ ἔμελλες τἄμ᾽ ἀτιμάσας λέχη
τερπνὸν διάξειν βίοτον ἐγγελῶν ἐμοί,
οὐδ᾽ ἡ τύραννος, οὐδ᾽ ὅ σοὶ προσθεὶς γάμους
Κρέων, ἄτιμον τῆσδέ μ᾽ ἐκβαλὼν χθονός.
πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κάλει
καὶ Σκύλλαν ἣ Τυρσηνὸν ᾤκησεν πέδον·
τῆς σῆς γὰρ ὡς χρὴ καρδίας ἀνθηψάμην.
ΙΑ. καὐτή γε λυπεῖ καὶ κακῶν κοινωνὸς εἶ.
ΜΗ. σάφ᾽ ἴσθι· λύει δ᾽ ἄλγος, ἢν σὺ μὴ ᾽γγελᾷς.
ΙΑ. ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.
ΜΗ. ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.
ΙΑ. οὐ τοίνυν ἡμὴ δεξιά σφ᾽ ἀπώλεσεν.
ΜΗ. ἀλλ᾽ ὕβρις οἵ τε σοὶ νεοδμῆτες γάμοι.
ΙΑ. λέχους σφέ γ᾽ ἠξίωσας οὕνεκα κτανεῖν.
ΜΗ. σμικρὸν γυναικὶ πῆμα τοῦτ᾽ εἶναι δοκεῖς;
ΙΑ. ἥτις γε σώφρων· σοὶ δὲ πάντ᾽ ἐστὶν κακά.
ΜΗ. οἵδ᾽ οὐκέτ᾽ εἰσί· τοῦτο γάρ σε δήξεται.
ΙΑ. οἵδ᾽ εἰσίν, οἴμοι, σῷ κάρᾳ μιάστορες.
ΜΗ. ἴσασιν ὅστις ἦρξε πημονῆς θεοί.
ΙΑ. ἴσασι δῆτα σήν γ᾽ ἀπόπτυστον φρένα.
ΜΗ. στυγεῖ· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.
ΙΑ. καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι δ᾽ ἀπαλλαγαί.
ΜΗ. πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
ΙΑ. θάψαι νεκρούς μοι τούσδε καὶ κλαῦσαι πάρες.
ΜΗ. οὐ δῆτ᾽, ἐπεὶ σφᾶς τῇδ᾽ ἐγὼ θάψω χερί,
φέρουσ᾽ ἐς Ἥρας τέμενος Ἀκραίας θεοῦ,
ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,
τύμβους ἀνασπῶν· γῇ δὲ τῇδε Σισύφου
σεμνὴν ἑορτὴν καὶ τέλη προσάψομεν
τὸ λοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
σὺ δ᾽, ὥσπερ εἰκός, κατθανεῖ κακὸς κακῶς,
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
πικρὰς τελευτὰς τῶν ἐμῶν γάμων ἰδών.
ΙΑ. ἀλλά σ᾽ Ἐρινὺς ὀλέσειε τέκνων
φονία τε Δίκη.
ΜΗ. τίς δὲ κλύει σου θεὸς ἢ δαίμων,

---

1356. *οὐδ᾽ — οὐδ᾽*] Elmsleyus, *οὔθ᾽ — οὔθ᾽* libri. 1357. *ἄτιμον*] v. l. *ἀνατί.* *ἐκβαλών*] *ἐκβαλεῖν* libri. 1366. *νεόδμητοι BC* 1367. *σφε κἠξίωσας BC* · 1371. *ὤμοι* BC 1380. *αὐτούς BC, αὐτῶν* BCcd